## CI. — Ὅτι ὁ Θεός ἐστιν ἡ μακαριότης αὐτοῦ.

Ἡ γὰρ μακαριότης αὐτοῦ ἐστιν ἡ νοητὴ αὐτοῦ ἐνέργεια, ὡς ἐδείχθη· τὸ δὲ νοεῖν τοῦ Θεοῦ ἐδείχθη ἡ οὐσία αὐτοῦ.

Ἔτι, ἐδείχθη τὸν Θεὸν πρώτως θέλειν τὴν ἑαυτοῦ οὐσίαν· ἀλλὰ θέλει πρώτως καὶ μάλιστα τὴν ἑαυτοῦ μακαριότητα· ταὐτὸν ἄρα ἐστὶν αὐτῷ οὐσία τε καὶ μακαριότης.

Ἔτι, τὰ ἄλλα ὁ Θεὸς θέλει διὰ τὴν αὐτοῦ ἀγαθότητα· θέλει δὲ καὶ διὰ τὴν ἰδίαν μακαριότητα· ἡ μακαριότης ἄρα αὐτοῦ ἐστιν ἡ ἀγαθότης αὐτοῦ· ἀλλ' ἡ ἀγαθότης αὐτοῦ ἡ οὐσία αὐτοῦ ἐστιν, ὥστε καὶ ἡ μακαριότης ἡ οὐσία αὐτοῦ, καὶ αὐτός ἐστιν.

## CII. — Ὅτι ἁπλῶς καὶ τελείως μακάριός ἐστιν.

Τὸ γὰρ κατ' οὐσίαν ὂν μᾶλλόν ἐστι τοῦ κατὰ μετοχὴν λεγομένου, ὥσπερ τὸ πῦρ, τελειότερον παντὸς πυρώδους· ὁ δὲ Θεὸς μακάριός ἐστι κατ' οὐσίαν, ὅτι αὐτός ἐστι τὸ ἔσχατον ἀγαθόν, τὰ δὲ ἄλλα κατὰ μετοχήν· ἔστιν ἄρα ἁπλῶς καὶ τελείως μακάριος, καὶ ἡ μακαριότης αὐτοῦ πάσης ἄλλης ὑπερεκτείνεται· ὃ δ' ἐντεῦθεν δῆλον, ὅτι πάσας μακαριότητας περιέχει τρόπῳ τινὶ τελειοτάτῳ· ἀντὶ μὲν γὰρ τῆς θεωρητικῆς εὐδαιμονίας, ἔχει τὴν τελειοτάτην καὶ ἀΐδιον ἑαυτοῦ τε καὶ τῶν ἄλλων θεωρίαν· ἀντὶ τῆς πρακτικῆς, οὐχ ἑνὸς ἢ ἀνθρώπου ἢ πόλεως ἢ οἰκίας, ἀλλὰ τοῦ παντὸς τὴν κυβέρνησιν. Ἡ δὲ ψευδὴς καὶ γεώδης εὐδαιμονία οὐκ ἔχει εἰ μή τινα σκιὰν τῆς τελειοτάτης ἐκείνης τελειότητος· συνίσταται γὰρ κατὰ τὸν
f. 38v Βοήτιον | ἐν πέντε τισίν· ἡδονῇ, πλούτῳ, δυνάμει, ἀξίᾳ, καὶ φήμῃ· ἔχει δὲ ὁ Θεὸς ἀκροτάτην μὲν εὐφροσύνην ἐφ' ἑαυτῷ καὶ καθόλου χαρὰν ἐπὶ πᾶσιν ἀγαθοῖς ἀμιγῆ τοῦ ἐναντίου· ἀντὶ πλούτου, παντοίων ἀγαθῶν πᾶσαν αὐτάρκειαν· ἀντὶ δυνάμεως, ἄπειρον δύναμιν· ἀντὶ ἀξίας, τὸ πρωτεῖον καὶ τὴν βασιλείαν τῶν ὄντων πάντων· ἀντὶ δὲ φήμης, τὸ θαῦμα παντὸς νοῦ τοῦ γινώσκοντος αὐτόν. Αὐτῷ τῷ ἰδίως μακαρίῳ τιμὴ καὶ δόξα εἰς αἰῶνας ἀμήν: —

---

17 ὃ: peut-être τὸ A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# *LIVRE DEUXIEME.*

## Dieu créateur.

### *ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.*

**I. — Συνέχεια τῶν προηγουμένων πρὸς τὰ ἑπόμενα: —**

„Ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου“· τοῦτο πρὸς τὴν πρώτην ἐνέργειαν ἀναφέρεται τὴν ἐν τῷ ἐνεργοῦντι μένουσαν, ὡς τὸ αἰσθάνεσθαι καὶ νοεῖν καὶ θέλειν· „Καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω“, τοῦτο πρὸς τὴν δευτέραν, ἥτις τοῦ γινομένου τελειότης ἐστίν, ὡς τὸ θερμαίνειν καὶ πυρίζειν, καὶ οἰκοδομεῖν καὶ τὰ ὅμοια· ἃ δὴ γένη τῶν ἐνεργειῶν καὶ ἐν τῷ Θεῷ ὑπερκειμένως εὑρίσκονται· καὶ ὁ σοφὸς περὶ ἀμφοτέρων θεωρεῖ. Ἐπεὶ οὖν καὶ ἡμεῖς ὡς οἷόν τε περὶ τῆς προτέρας ἐνεργείας ἔφθημεν διαλαβόντες, ἔνθα περὶ τῆς θείας γνώσεως καὶ θελήσεως διειλείφαμεν, ὑπολείπεται νῦν περὶ τῆς δευτέρας διαλαβεῖν, ἤγουν δι' ἧς ὑπὸ τοῦ Θεοῦ προάγονται καὶ κυβερνῶνται τὰ κτίσματα.

**II. — Ὅτι ἡ θεωρία τῶν κτισμάτων χρήσιμος τῇ πίστει.**

Ἡ τοιαύτη δὲ τῶν θείων ἐπιτηδευμάτων ἀδολεσχία, ἀναγκαία πρὸς τὸ εἰσαγαγεῖν τὸν ἄνθρωπον εἰς τὴν περὶ Θεοῦ γνῶσιν, πρῶτον, ὅτι ἐκ τῆς τῶν ποιημάτων ἐπισκέψεως τὴν σοφίαν τοῦ δημιουργοῦ [συμπεραίνειν] δυνάμεθα, ὡς τῆς πρὸς τὴν αὐτοῦ ὁμοιότητα κοινωνίας ἐν τοῖς γενομένοις ὑπ' αὐτοῦ ἅπασι κεχυμένης· δεύτερον, ὅτι ἡ τοιαύτη θεωρία εἰς ὕμνον τῆς ὑψηλοτάτης τοῦ Θεοῦ δυνάμεως ἄγει, καὶ ἐν ταῖς καρδίαις ἡμῶν αἰδῶ περὶ τὸν Θεὸν κίνει· τρίτον, ὅτι αἱ τῶν ἀνθρώπων ἐντεῦθεν ψυχαὶ εἰς τὸν θεῖον ἔρωτα παροτρύνονται, κατὰ τὸ ἐν ψαλμοῖς· „Εὐφράνας με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι“· τέταρτον, ὅτι τῇ θεωρίᾳ ταύτῃ, ὥς φησιν ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ, εἰς τὴν εἰκόνα τῆς θείας μεταμορφούμεθα τελειότητος· καὶ γὰρ ὁ Θεὸς ἐν ἑαυτῷ τὰ πάντα γινώσκει, καὶ οἱ ἄνθρωποι περὶ Θεοῦ ὑπὸ τῆς Γραφῆς παιδευόμενοι πρῶτον τὰ ἐκ Θεοῦ ἀποκαλυφθέντα, εἶτα καὶ τῶν κτισμάτων ἐπιστήμονες δι' αὐτῆς γίνονται, καὶ ὁμοιότητά τινα τῆς θείας οὕτω κτῶνται σοφίας.

---

2 Ps. 143, 5  5 *γινομένου* corrigé de *γενομένου* A  16 [*συμπεραίνειν*]: *σοφίαν* A. Par distraction, Scholarios a répété le mot *σοφίαν*, et oublié le verbe correspondant au texte latin (= *colligere*), sans lequel la phrase n'a pas de sens
21 Ps. 111, 5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## III. — Ὅτι τὸ γινώσκειν τὰς τῶν κτιστῶν φύσεις χρήσιμον πρὸς τὸ τὰς περὶ Θεὸν αἱρέσεις ἀνασκευάζειν.

Ὅτι αἱ περὶ τὰ κτίσματα αἱρέσεις τῆς ἐν τῇ πίστει ἀληθείας πολλάκις ἀπάγουσιν, καθόσον ἀληθῶς τῇ τοῦ Θεοῦ γνώσει μάχονται· ἢ γὰρ τὸ f. 39 μὴ δυνάμενον εἶναι εἰ μὴ | ἀφ' ἑτέρας αἰτίας πρώτην αἰτίαν καὶ Θεὸν ἀποφαίνονται, ὥσπερ οἱ πᾶν σῶμα Θεὸν οἰηθέντες, τῷ μηδὲν ἐπέκεινα τῶν ὁρωμένων κτισμάτων ὑπολαβεῖν· ἢ τὸ μόνον τοῦ Θεοῦ ὄν, τῶν κτισμάτων τισὶν ἐπιγράφουσιν ἐκ τῆς περὶ τὰ κτίσματα πλάνης, οἳ τὴν τῶν πραγμάτων παραγωγὴν καὶ τὴν γνῶσιν τῶν μελλόντων καὶ τὴν τῶν παραδόξων ἐνέργειαν ἑτέραις αἰτίαις παρὰ τὸν Θεὸν ἐπιγράφουσιν· ἢ ἐκβάλλουσί τινα τῆς πρὸς τὴν θείαν ἐνέργειαν τάξεως, δύο τιθέντες αἴτια· ἢ ἐκ φυσικῆς ἀνάγκης ποιῆσαι τὰ ὄντα τὸν Θεὸν ἀξιοῦντες, ἢ τὰς τῶν ἀνθρώπων θελήσεις τοῖς ἄστροις ὑποτιθεῖσιν, ἢ τοὺς ἀγγέλους δημιουργοὺς τῶν ἀνθρώπων, ἢ τὰς ἀνθρωπίνας ψυχὰς θνητὰς ἀξιοῦσιν· ὧν αἴτιον ἁπάντων ἡ τῆς τῶν πραγμάτων φύσεως ἄγνοια· ὅθεν καὶ τοῖς περὶ τὰ κτίσματα πλανωμένοις ὥσπερ ἀσεβέσιν ὁ ψαλμὸς ἐπανεκτείνεται, ὅτι „οὐ συνῆκαν τὰ ἔργα τοῦ Κυρίου καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ· καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς".

## IV. — Ὅτι ὁ φυσικὸς καὶ ὁ θεολόγος ἑτέρως περὶ τῶν κτισμάτων θεολογοῦσιν.

Ὁ μὲν γὰρ φιλόσοφος ἐκεῖνα σκέπτεται, ἃ τούτοις κατὰ τὴν ἰδίαν φύσιν ἁρμόζει, καὶ καθόσον εἰσὶν ἐν ἑαυτοῖς· ὅθεν καὶ κατὰ τὰ διάφορα τῶν πραγμάτων γένη διάφορα μέρη τῆς φιλοσοφίας εὑρίσκονται· ὁ δὲ πιστὸς ἐκεῖνα μόνα περὶ τὰ κτίσματα σκέπτεται, ἃ τούτοις ἁρμόττει καθόσον πρὸς τὸν Θεὸν ἀνάγονται, ὡς ὑπ' αὐτοῦ ἐκτισμένα, ἢ αὐτῷ ὑποτεταγμένα· καὶ ἃ δὲ ἐν τοῖς κτίσμασι σκοποῦσι κοινῶς, δι' ἄλλων ἀρχῶν καὶ ἄλλων παραδιδόασιν· ὁ μὲν γὰρ φιλόσοφος τὰς ἀποδείξεις ἐκ τῶν ἰδίων αἰτίων τοῦ πράγματος, ὁ δὲ πιστὸς ἐκ τῆς πρώτης αἰτίας λαμβάνει, ἤγουν ὅτι οὕτω παραδέδοται, ἢ ὅτι εἰς δόξαν ἀνήκει Θεοῦ, ἢ ὅτι ἡ θεία δύναμις ἄπειρος· ὅθεν καὶ μεγίστη σοφία καλεῖται ὡς τὴν ὑψηλοτάτην αἰτίαν σκοποῦσα· ἡ δὲ ἀνθρωπίνη δουλεύουσα· ὅθεν καὶ ἐκ τῶν ἀρχῶν αὐτῆς ἐνίοτε προχωρεῖ ἡ θεία· καὶ διὰ τοῦτο ἐν τῇ διδασκαλίᾳ τῆς πίστεως πρώτη ἐστὶν ἡ περὶ τοῦ Θεοῦ θεωρία, εἶτα ἡ περὶ τῶν κτισμάτων, ὡς τελειοτέρα καὶ τῇ θείᾳ γνώσει ὁμοιοτέρα, ὃς ἑαυτὸν γινώσκων, τὰ ἄλλα γινώσκει.

---

13 ὑποτιθεῖσιν sic = ὑποτιθέασιν 16 Ps. 27, 5

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## V. — Περὶ τῶν λεχθησομένων.

Πρῶτον οὖν ἐροῦμεν περὶ τῆς εἰς τὸ εἶναι παραγωγῆς τῶν ὄντων·
Δεύτερον, περὶ τῆς αὐτῶν διακρίσεως·
Τρίτον, περὶ τῆς φύσεως τῶν παρηγμένων καὶ διακεκριμένων.

## VI. — Ὅτι ὁ Θεὸς ἀρχὴ τοῖς ἄλλοις τοῦ εἶναι.

Ἐδείχθη γὰρ ἀνωτέρω εἶναί τινα πρώτην αἰτίαν ποιητικήν, ἣν Θεὸν εἶναι φαμέν· | ἡ δὲ ποιητικὴ αἰτία τὰ ἴδια ἀποτελέσματα εἰς τὸ εἶναι f. 39v παράγει· ὁ Θεὸς ἄρα τοῖς ἄλλοις ἐστὶν αἰτία τοῦ εἶναι.

Ἔτι, ὡς ἐνέργεια ὤν, ποιήσει τινὰ ὄντα ἐνεργείᾳ· καὶ πάντα ποιήσει ὡς ἐσχάτη καὶ εἰλικρινὴς ἐνέργεια· ὡς δὲ τελειοτάτη, ποιήσει ὅμοια ἑαυτῷ καὶ θέλων καὶ δυνάμενος, καὶ τῷ νοεῖν αὐτοῦ καὶ τῷ θέλειν, καὶ ἀποτελέσματα προάξει, οὐ μόνον ἐν ἑαυτῷ ἀποχρήσεται.

## VII. — Ὅτι ἡ ἐνεργητικὴ δύναμίς ἐστιν ἐν αὐτῷ.

Ὡς γὰρ ἡ πρακτικὴ δύναμις ἕπεται τῷ δυνάμει ὄντι, οὕτως ἡ ἐνεργητικὴ τῷ ἐνεργείᾳ· τῷ δὲ Θεῷ ἐνεργείᾳ εἶναι ἁρμόζει.

Ἔτι, ἡ ἐνεργητικὴ δύναμις ἀρχὴ τοῦ ποιεῖν· ὁ δὲ Θεὸς ποιητὴς πάντων· ὡς ἐν τοῖς ψαλμοῖς· „Δυνατὸς εἶ Κύριε". Καὶ αὖθις· „Τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου".

## VIII. — Ὅτι ἡ δύναμις αὐτοῦ ἡ οὐσία αὐτοῦ.

Ὡς αὐτός ἐστιν ἡ ἐνέργεια αὐτοῦ, οὕτως αὐτός ἐστιν ἡ ἐνεργητικὴ αὐτοῦ δύναμις· ἡ γὰρ ἐνεργητικὴ δύναμις ἁρμόζει τινὶ καθόσον ἐστὶν ἐνεργείᾳ.

Ἔτι, οὗ ἡ δύναμις οὐκ ἔστιν ἡ οὐσία αὐτοῦ, δυνάμεως τινὸς μετοχῇ δυνατός ἐστιν· ἀλλ' ὁ Θεὸς οὐδενὸς μετέχει, αὐτὸς ὢν τὸ εἶναι αὐτοῦ.

Ἔτι, οὗ ἡ δύναμις οὐκ ἔστιν ἡ οὐσία αὐτοῦ, ἡ δύναμις συμβεβηκός ἐστιν· ὅθεν καὶ ἡ φυσικὴ δύναμις ἐν τῷ δευτέρῳ εἴδει τῆς ποιότητος τάττεται· ἐν δὲ τῷ Θεῷ οὐ δύναται εἶναι συμβεβηκός.

Ἔτι, ὡς πρώτως ποιοῦν καὶ καθαυτὸν ποιῶν, τῇ ἰδίᾳ οὐσίᾳ ποιεῖ· ᾧ δέ τι ποιεῖ, ἡ αὐτοῦ ἐνεργητική ἐστι δύναμις.

## IX. — Ὅτι ἡ δύναμις αὐτοῦ ἡ ἐνέργειά ἐστιν αὐτοῦ.

Τὰ γὰρ ἑνὶ καὶ τῷ αὐτῷ τὰ αὐτὰ ὄντα καὶ ἀλλήλοις εἰσὶ ταὐτά· ἡ δὲ θεία δύναμις ἡ αὐτή ἐστι τῇ θείᾳ οὐσίᾳ· ἣν δὲ καὶ ἡ θεία ἐνέργεια ὁμοίως ἡ αὐτὴ τῇ οὐσίᾳ.

---

19 Ps. 88, 9 Ps. 17, 18

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## X. — Πῶς ἂν ἐν τῷ Θεῷ ἡ δύναμις λέγοιτο.

Λέγεται δὲ ἐν τῷ Θεῷ ἡ δύναμις οὐχ ὡς ἀρχὴ τῆς ἐνεργείας, ἀλλ' ὡς ἀρχὴ τοῦ γεγενημένου, τουτέστιν οὐ τῇ πρὸς τὴν ἐνέργειαν παραθέσει· οὐ γὰρ διενήνοχεν αὐτῆς, εἰ μὴ κατὰ τὸν τῆς ἐπινοίας τρόπον, καθόσον ὁ ἡμέτερος νοῦς διαφόροις νοήμασι τὴν θείαν ἐνέργειαν καὶ τὴν δύναμιν θεωρεῖ· ἀλλὰ τῇ πρὸς τὰ γεγενημένα παραθέσει ὅ τε νοῦς καὶ ἡ θέλησις ἐν τῷ Θεῷ οὐκ εἰσὶν ὡς δυνάμεις, ἀλλ' ὡς ἐνέργειαι μόνον· ὅθεν καθόλου κατὰ τὰς ἔνδον τοῦ Θεοῦ ἐνεργείας ἡ δύναμις οὐ λεχθήσεται εἰ μὴ τῷ τῆς ἐπινοίας τρόπῳ, οὐ τῇ ἀληθείᾳ τοῦ πράγματος· κυρίως δὲ τὰ ἀποτελέσματα μόνα ἀποσκοπεῖ.

## XI. — Ὅτι περὶ Θεοῦ λέγεταί τι ἀναφορικῶς πρὸς τὰ κτίσματα.

Εἰ γὰρ τῷ Θεῷ ἁρμόζει ἡ δύναμις τῇ πρὸς τὰ ἴδια ἀποτελέσματα παραθέσει, ἡ δὲ δύναμις λόγον ἀρχῆς ἔχει, ὡς εἴρηται, ἡ δὲ ἀρχὴ πρὸς τὸ ἐκ τῆς ἀρχῆς ἀναφορικῶς λέγεται, δῆλον ὅτι δυνατόν τινα περὶ Θεοῦ λέγεσθαι ἀναφορικῶς τῇ πρὸς τὰ ἴδια ἀποτελέσματα παραθέσει.

Ἔτι, τὰ ὄντα ἀναφορικῶς πρὸς τὸν Θεὸν λέγονται κατὰ τὸ εἶναι αὐτῶν, ὃ ἐξ αὐτοῦ ἔχουσιν ἠρτημένον· ἀνάπαλιν ἄρα καὶ ὁ Θεὸς πρὸς αὐτὰ ἀναφορικῶς λέγεται.

Ἔτι, ἡ ὁμοιότης τοῦ ποιητοῦ πρὸς τὰ ποιήματα οὐκ ἄνευ ἀναφορᾶς· καὶ ὁ Θεὸς ἐπιστήμην ἔχει, οὐχ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τῶν ἄλλων· ἡ δὲ πρὸς τὸ ἐπιστητὸν ἀναφορικῶς λέγεται.

Ἔτι, τὸ πρῶτον καὶ ἔσχατον ἀναφοράν τινα ἐπιφέρει· ἃ περὶ Θεοῦ λέγονται· ὡς τὸ ὂν καὶ τὸ κινοῦν, καὶ τὸ ποιοῦν, καὶ τὰ τοιαῦτα.

## XII. — <Ὅτι αἱ ἀναφοραὶ αὗται οὐκ εἰσὶ πραγματικῶς ἐν τῷ Θεῷ.>

Αἱ δὲ ἀναφοραὶ αὗται οὐκ εἰσὶ πραγματικῶς ἐν τῷ Θεῷ· οὔτε γὰρ ὡς συμβεβηκότα, ἃ οὐκ ἔστιν ἐν τῷ Θεῷ ὅλως· οὔτε ὡς αὐτὴ ἡ θεία οὐσία· οὐ γὰρ δυνατὸν αὐτὴν ἐξωτερικοῦ τινὸς ἠρτῆσθαι ὅλως, ὡς ἅπαν τὸ πρός τι λεγόμενον, τρόπον τινὰ αὐτοῦ ἤρτηται.

## XIII. — <Ὅτι αἱ προειρημέναι ἀναφοραὶ οὐχ ὑφεστήκασιν ἐκτὸς τοῦ Θεοῦ.>

Ἀλλ' οὐδὲ δύναται λέγεσθαι ὡς αἱ προειρημέναι ἀναφοραὶ ὑφεστήκασιν ἔξω ὥσπερ τινὰ πράγματα ἐκτὸς τοῦ Θεοῦ· ἣν γὰρ ἄν τις καὶ πρὸς ἐκεῖνα

---

9 κυρίως (ω suprascr.) sic A    25 *τὸ ὄν*, lecture douteuse    29 Sous le titre du chap. XI Scholarios résume les 3 chapitres suivants (XII - XIV)

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναφορὰ τοῦ Θεοῦ, ὅς ἐστι τῶν ὄντων πάντων ἀρχή, καὶ τοῦτο ἐπ' ἄπειρον· οὐκ ἄρα αἱ σχέσεις τοῦ Θεοῦ πρὸς τὰ ποιήματα ἔξω τοῦ Θεοῦ εἰσι πράγματα ὑφεστῶτα.

Ἐπεὶ τοίνυν ἐν τῷ Θεῷ εἰσι καὶ οὐ λέγονται κατ' αὐτοῦ πραγματικῶς, λείπεται ἀποδίδοσθαι αὐτῷ ταύτας κατὰ τὸν τρόπον τῆς ἐπινοίας, καθὸ τὰ ἄλλα πρὸς αὐτὸν ἀναφέρονται· ὁ γὰρ ἡμέτερος νοῦς τῷ νοεῖν τόδε τι πρὸς ἄλλο ἀναφερόμενον, καὶ τὴν διαφορὰν αὐτῶν συνεπινοεῖ. Τὰ μὲν οὖν κατηγορούμενα τοῦ Θεοῦ, εἴπερ σοφία καὶ θέλησις, τὴν οὐσίαν αὐτοῦ δηλοῦσι καὶ πραγματικῶς περὶ αὐτοῦ λέγονται· αἱ δὲ εἰρημέναι ἀναφοραὶ κατὰ τὸν τῆς ἐπινοίας τρόπον μόνον· οὐ μέντοι ψευδὴς ὁ νοῦς διὰ τοῦτο· καθὸ γὰρ νοεῖ τὰς διαφορὰς τῶν ὄντων ὁριζομένας, εἰς τὸν δημιουργὸν αὐτῶν ἀναφορικῶς τινα κατηγορεῖ τοῦ Θεοῦ· ὥσπερ τὸ ἐπιστητὸν νοοῦμεν καὶ σημαίνομεν καθὸ ἡ ἐπιστήμη ἀναφέρεται πρὸς αὐτό, τῆς ἀναφορᾶς ἐπινοίᾳ μόνον οὔσης ἐν τῷ ἐπιστητῷ τῆς τοιαύτης, πράγματι δὲ ἐν τῇ ἐπιστήμῃ καὶ τῷ ἐπισταμένῳ.

## XIV. — <Ὅτι τὸ πλῆθος τῶν σχέσεων οὐ μάχεται τῇ θείᾳ ἁπλότητι.>

Ἀλλ' οὐδὲ τῇ θείᾳ ἁπλότητι τὸ πλῆθος τῶν τοιούτων σχέσεων μάχεται, | ἐπεὶ τῷ τῆς ἐπινοίας ἕπονται τρόπῳ· οὐδὲν γὰρ κωλύει τὸν ἡμέτερον f. 40v νοῦν πολλαχῶς νοεῖν ἀναφερόμενα εἰς τὸ καθαυτὸ ἁπλοῦν ὄν, καὶ οὕτω τὸ ἁπλοῦν ἐκεῖνο ἐν πολλῇ σχέσει θεωρεῖν· ὅσῳ γάρ τι μᾶλλόν ἐστιν ἁπλοῦν, τοσούτῳ μείζονος ἐστὶ δυνάμεως καὶ πλειόνων ἀρχή, κἀκ τούτου μᾶλλον πολλαχῶς νοεῖται ἀναφερόμενον· ὥσπερ τὸ σημεῖον πλειόνων ἐστὶν ἀρχὴ ἢ ἡ γραμμή, ἢ ἡ ἐπιφάνεια. Τὸ τοίνυν περὶ Θεοῦ πολλὰ ἀναφορικῶς λέγεσθαι τῇ ἐσχάτῃ τούτου ἁπλότητι μάλιστα μαρτυρεῖ.

## XV. — Ὅτι ὁ Θεὸς αἰτία πᾶσι τοῦ εἶναι.

Ἐπεὶ δέδεικται, ὅτι ὁ Θεός ἐστι τοῦ εἶναι ἀρχή, περαιτέρω δεικτέον, ὅτι οὐδὲν παρ' αὐτόν ἐστιν εἰ μὴ ἀπ' αὐτοῦ· ἀδύνατον γὰρ ἕν τι δυσὶν ἁρμόζειν καὶ ἑκατέρῳ καθ' ἑαυτό, ἀλλ' ἀνάγκη ἢ θάτερον θατέρου εἶναι αἰτίαν, ἢ ἄλλο τρίτον καὶ ἀμφοῖν αἴτιον εἶναι· ἀλλὰ τὸ εἶναι κατηγορεῖται κατὰ τοῦ παντός, ὅτι ἔστι, καὶ κατὰ τοῦ Θεοῦ· τῷ δὲ Θεῷ οὐδέν ἐστιν αἴτιον τοῦ εἶναι· τούτῳ ἄρα προσήκει αἰτίῳ εἶναι τοῦ τὸ πᾶν εἶναι· τὸ πᾶν ἄρα ἐξ αὐτοῦ ἐστι, καὶ πᾶν ὃ κατά τινα τρόπον ἔστιν.

Ἔτι, ὁ Θεὸς ἐδείχθη μάλιστα ὤν· ἔστιν ἄρα αἴτιος πάντων ὧν κατηγορεῖται τὸ ὄν, καὶ κατ' οὐσίαν ὤν· αἴτιος ἄρα πάντων τῶν κατὰ μετοχὴν ὄντων, καὶ τελειότατον καὶ ἔσχατον ἀγαθόν, καὶ ἐνέργεια εἰλικρινής· οἷς πᾶσι προσήκει τὸ καὶ πᾶσιν αἴτιον εἶναι αὐτὸν τῆς ἑκάστων οὐσίας.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τοῦτο δὲ καὶ τῇ Γραφῇ πάσῃ βεβαιοῦται· ἐν γὰρ ψαλμοῖς· „Ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς“· ἐν δὲ τῷ κατὰ Ἰωάννην· „Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν“· καὶ ἐν ταῖς ἐπιστολαῖς Παύλου, τὸ πανταχοῦ.

## XVI. — Ὅτι οὐ ζητεῖ ὕλην προϋποκειμένην.

Εἰ γὰρ προϋπάρχει τι τοῦ θείου ἀποτελέσματος, ἐξ οὗ ποιεῖ αὐτὸ ὁ Θεός, ἐξ ἀνάγκης ἢ ἐπ' ἄπειρόν ἐστι προβαίνειν, ὅπερ ἀδύνατον δείκνυσιν ὁ Φιλόσοφος ἐν τοῖς φυσικοῖς αἰτίοις, ἢ καταντήσομεν εἴς τι πρῶτον, ὅπερ ἕτερον οὐ προϋποτίθησιν· ὃ δὴ αὐτὸς ὁ Θεὸς οὐ δύναται εἶναι· ἐδείχθη γὰρ μὴ ὢν ὕλη τινός, οὔτε ἕτερόν τι τοῦ Θεοῦ δύναται εἶναι, ᾧ ὁ Θεὸς οὐκ ἔστιν αἰτία τοῦ εἶναι· καταλείπεται τοίνυν μὴ ζητεῖν τὸν Θεὸν ἐν τῷ παραγεῖν τι ὕλην προϋποκειμένην, ἐξ ἧς ἐνεργήσειεν ἄν.

Ἔτι, τὸ ἐξ ἀνάγκης ζητοῦν ἐν τῷ ποιεῖν προϋποκειμένην ὕλην μερικῶς ἐστιν ἐνεργοῦν· ὁ δὲ Θεὸς καθόλου τοῦ εἶναι αἰτία.

f. 41 Ἔτι, ὁ Θεὸς πρώτη αἰτία ὤν, οὐ ποιεῖ διὰ κινήσεως καὶ μεταβολῆς, ᾗ γίνεται τοδὶ ὂν ἐκ τουδὶ ὄντος, ἢ μᾶλλον τουδὶ μὴ ὄντος, καὶ τὰ ἐξ ὑποκειμένης ὕλης ποιοῦντα ποιεῖ· ἀλλὰ ποιεῖ ὂν ἁπλῶς ἐκ μὴ ὄντος ἁπλῶς· ὥστε οὐ ζητεῖ προϋποκειμένην ὕλην.

Ἔτι, ἡ θεία δύναμις ἁπλῶς ἐστιν ἄπειρος· οὐκ ἄρα ὕλην ζητεῖ, ἧς ἡ δύναμις οὐκ ἔστιν ἄπειρος.

Ἔτι, ὁ Θεὸς καθόλου τοῦ εἶναι παντὸς ποιητικός· οὐκ ἔστι δὲ μία ὕλη δυνάμει πρὸς τὸ καθόλου εἶναι, ἀλλὰ διάφοροι τῶν διαφόρων πραγμάτων αἱ ὗλαι· οὐκοῦν οὐκ ἔστιν οὐδεμία ὕλη τῷ Θεῷ ἀνάλογος, οὐδ' ἄρα ἐξ ἀνάγκης αὐτῷ ζητουμένη πρὸς τὸ ποιεῖν.

Ἔτι, ἡ πρώτη ὕλη ἁμηγέπη ἐστίν· ἔστι γὰρ ἐν δυνάμει ὄν· ὁ δὲ Θεὸς πάντων τῶν ὄντων ἐστὶν αἰτία, ὥστε καὶ τῆς ὕλης τῆς πρώτης· οὐκ ἄρα δεῖται πρὸς τὸ ἐνεργεῖν προϋποκειμένης ὕλης.

## XVII. — Ὅτι τὸ κτίζειν οὔτε κίνησις οὔτε μεταβολή.

Ἡ γὰρ κίνησις ἢ μεταβολὴ ἐνέργειά ἐστι τοῦ ὄντος δυνάμει, ᾗ τοιούτου· ἐν δὲ τῇ ἐνεργείᾳ τοῦ κτίζειν καὶ δημιουργεῖν, ἥ ἐστιν ἄνευ προϋποκειμένης ὕλης, οὐκ ἄλλο τι προϋφίσταται ἐν δυνάμει, ὃ δέξαιτ' ἂν τὴν ἐνέργειαν.

Ἔτι, ἐν πάσῃ μεταβολῇ καὶ κινήσει ἀνάγκη εἶναί τι ἄλλως ἔχον νῦν τε καὶ πρότερον· ὅπου δὲ ὅλη ἡ τοῦ πράγματος οὐσία εἰς τὸ εἶναι παράγεται, ἀδύνατον τοῦτ' εἶναι· ἦν γὰρ ἄν τι οὐ παρηγμένον ἀλλὰ προϋποκείμενον τῇ μεταβολῇ· τοιοῦτον δὲ τὸ δημιουργεῖν καὶ κτίζειν.

---

1 Ps. 145, 6 3 Ioh. 1, 3

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XVIII. — <Αἱ κατὰ τοῦ δημιουργεῖν ἀντιθέσεις.>

Πῶς δ' ἂν λύοιντο αἱ κατὰ τοῦ δημιουργεῖν ἀντιθέσεις τινῶν ἐκ τῆς κινήσεως καὶ μεταβολῆς, ῥᾴδιον παντὶ συνιδεῖν, καὶ διὰ τοῦτο καὶ συντομίας χάριν παρίεμεν.

## XIX. — Ὅτι τὸ δημιουργεῖν ἄνευ μεταβάσεώς ἐστιν.

Ὅτι δὲ πᾶσα δημιουργία ἄνευ μεταβάσεώς ἐστιν, ἀναγκαῖον εἰπεῖν· καὶ γὰρ ἡ μετάβασις ἰδία ἐστὶ τῆς κινήσεως· τὸ δὲ κτίζειν οὔτε κίνησίς ἐστιν, οὔτε κινήσεως ὅρος, ὥσπερ ἡ γένεσις· οὐδεμία ἄρα μετάβασίς ἐστιν ἐν αὐτῷ.

Ἔτι, ἐν πάσῃ μεταβατικῇ κινήσει ἔστι τι μέσον πρὸς τὰ πέρατα αὐτῆς· μεταξὺ δὲ τοῦ μὴ εἶναι καὶ εἶναι, ὥσπερ τινῶν ἄκρων ὄντων τοῦ κτίζειν, οὐδέν ἐστιν.

Ἔτι, ἡ μετάβασις ἐκ τῆς ἐνδείας τῆς ὕλης γίνεται· ὅθεν ἐπειδὰν τελείως διατεθῇ πρὸς τὸ εἶδος, ἐν ἀκαρεῖ δέχεται τοῦτο· τὸ δὲ κτίζειν ἐν τῷ ἀκαριαίῳ ἐστίν· οὔτε γὰρ ζητεῖταί τι ἐκ τοῦ μέρους τῆς ὕλης ὡς εἴρηται, οὔτε τὸ ποιοῦν | δεῖταί τινος πρὸς τὸ ποιεῖν, ὃ δεήσει διὰ κινήσεως f. 41v
αὐτῷ παρεῖναι πρότερον· ἐδείχθη γὰρ ἀκίνητον ὅλως. Ἔστιν ἄρα τὸ κτίζειν ἐν τῷ ἀκαριαίῳ, καὶ ὁμοῦ τι κτιζόμενον ἔκτισται, ὥσπερ ὁμοῦ τι φωτίζεται καὶ πεφωτισμένον ἐστίν. Καὶ τοῦτ' ἔστι τὸ ἐν ἀρχῇ πεποιηκέναι τὸν Θεὸν τὸν οὐρανὸν καὶ τὴν γῆν, ἐν τῇ ἀρχῇ δηλαδὴ τοῦ χρόνου, ὡς ὁ θεῖος ἐξηγεῖται Βασίλειος, ἣν ἀνάγκη ἀδιαίρετον εἶναι, ὡς ἐν ἕκτῳ τῶν φυσικῶν δείκνυσιν ὁ Φιλόσοφος.

## XX. — Ὅτι οὐδὲν σῶμα δύναται κτίζειν.

Πᾶν γὰρ σῶμα ποιεῖ κινούμενον· κινεῖται δὲ ἐν χρόνῳ δήπου, ὥστε κατὰ μετάβασιν ποιεῖ· τὸ δὲ κτίζειν εἴρηται μὴ ἔχειν μετάβασιν.

Ἔτι, τὸ κτίζειν ἀπείρου δυνάμεως· οὐδεμία δὲ δύναμις σώματος ἄπειρος, ὡς ἐν ὀγδόῳ τῶν φυσικῶν.

## XXI. — Ὅτι τὸ δημιουργεῖν τοῦ Θεοῦ ἐστι μόνου.

Τὸ γὰρ δημιουργεῖν ἐστι πρώτη ἐνέργεια, οὐδεμίαν ἑτέραν προϋποτιθεῖσα, καὶ προσήκει τῷ πρώτῳ ποιοῦντι, ὅς ἐστιν ὁ Θεός.

Ἔτι, πᾶν ποιοῦν προϋποτίθησι τῇ ἑαυτοῦ ἐνεργείᾳ ἐκεῖνο, ὅθεν τὸ αἰτιατὸν αὐτοῦ ἀτόμως ὑφίσταται· οὐκ ἄρα δημιουργεῖ· τοῦτο γὰρ τοῦ ποιοῦντός ἐστιν, ὅπερ ἄπειρον ἔχει τὸ εἶναι, ὅπερ ἐστὶ παντὸς ὄντος προειληφὸς ὁμοιότητα.

## XXII. — Ὅτι ὁ Θεός ἐστι παντοδύναμος.

Ἐκ τούτου δὲ φανερόν, ὅτι ἡ θεία δύναμις οὐχ ὁρίζεται πρὸς ἕν τι ἀποτέλεσμα· ἔστι γὰρ καθ' ἑαυτὴν αἰτία τοῦ εἶναι· καὶ τὸ εἶναι ἴδιόν



Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐστιν αὐτῆς ἀποτέλεσμα, καὶ διὰ τοῦτο ἐπὶ πάντα ἑαυτὴν ἐκτείνει, ἅτινα τῷ λόγῳ τοῦ ὄντος οὐ μάχεται, ἤγουν ὅσα ἀντίφασιν οὐκ ἐπάγει· πάντα ἄρα δύναται ὁ Θεός, ἅτινα ἑαυτοῖς τὸν τοῦ ὄντος λόγον ἐγκλείουσιν.

Ἔτι, τὸ μὴ ἐκτεινόμενον πρὸς πάντα τῇ δυνάμει ποιοῦν, ἢ διὰ τὴν ὑπερβολὴν τοῦ ἀποτελέσματος ἀδυνατεῖ, ὡς ἡ σωματικὴ οὐσία οὐ δύναται παράγειν ἀσώματον, ἢ διὰ τὴν ἀνοικειότητα τοῦ παραγομένου, ὡς ἡ ἐν τῷ ἀνθρωπίνῳ σπέρματι δύναμις οὐκ ἔχει παράγειν ἄλογον ἢ φυτόν· πᾶν γὰρ τὸ ποιοῦν ὅμοιον ποιεῖ· ἢ διὰ τὴν ὕλην ὡρισμένως ἔχουσαν πρὸς τὰ ἀποτελέσματα, ὡς ὁ τέκτων οὐ δύναται ποιεῖν πρίονα· οὐδενὶ δὲ τῶν τρόπων τούτων δύναταί τι ἀποτέλεσμα μὴ ὑποκεῖσθαι τῇ θείᾳ δυνάμει, πᾶν τε γὰρ ὂν ὁπωσοῦν ὅμοιον αὐτῷ ἐστιν ἀμηγέπη, τελειότητί τε καὶ ἀγαθότητι ὑπὲρ πάντα τὰ ὄντα ἐστίν, καὶ τῆς ὕλης αἴτιός ἐστι τῷ δημιουργεῖν αὐτήν· διὸ καὶ οὐ ζητεῖ ὕλην ἐν τῷ ποιεῖν, ἐκ μηδενὸς ὑφεστῶτος
f. 42 εἰς τὸ εἶναι παράγων· | οὔτε ἡ ἐνέργεια αὐτοῦ κωλυθῆναι δύναται τῇ ἀσθενείᾳ τῆς ὕλης. Καταλείπεται τοίνυν τὴν θείαν δύναμιν εἴς τι ἀποτέλεσμα οὐχ ὁρίζεσθαι, ἀλλ᾽ ἁπλῶς πάντα δύνασθαι, ὅπερ ἐστὶν ταὐτὸν τῷ παντοδύναμον εἶναι.

Τούτῳ συνᾴδει τὸ ἐν τῇ Γενέσει· „Ἐγὼ Θεὸς παντοδύναμος“· καὶ ἐν τῷ Ἰώβ· „Οἶδα ὅτι πάντα δύνασαι“· καὶ ἐν τῷ πρώτῳ τοῦ Λουκᾶ, ὡς ἐκ τοῦ ἀγγέλου· „Οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα“. Ἐλέγχονται ἐντεῦθεν καὶ οἱ πεπλανημένως δοξάσαντες ἀμέσως ὑπὸ Θεοῦ παραχθῆναι ἓν ἀποτέλεσμα μόνον, τῆς δυνάμεως αὐτοῦ πρὸς ἐκεῖνο μόνον ὡρισμένης.

## XXIII. — Ὅτι ὁ Θεὸς οὐ ποιεῖ τῇ ἀνάγκῃ τῆς φύσεως.

Παντὸς τῇ τῆς φύσεως ἀνάγκῃ ποιοῦντος ἡ δύναμις εἰς ἓν ὥρισται ἀποτέλεσμα, κἀντεῦθεν ἐστὶ τὰ φυσικὰ τὸν αὐτὸν ἀποβαίνειν τρόπον, εἰ μή τι κωλύσειεν· ἡ δὲ θεία δύναμις οὐ πρὸς ἓν ἀποτέλεσμα τέτακται, ὡς εἴρηται.

Ἔτι, ὁ Θεὸς διὰ νοῦ ποιεῖ· ὁ δὲ νοῦς οὐ ποιεῖ τὸ ἀποτέλεσμα εἰ μὴ μεσιτευούσης θελήσεως, ᾗ ἀντικείμενόν ἐστι τὸ νοητὸν ἀγαθόν, κινοῦν τὸν ποιοῦντα ὡς τέλος· ὁ Θεὸς ἄρα θελήσει ποιεῖ, οὐ φυσικῇ ἀνάγκῃ.

Ἔτι, τὸ πρώτως ποιοῦν κύριον τῆς αὐτοῦ ἐνεργείας δεῖ εἶναι· τοῦτο δὲ οὐκ ἔστιν εἰ μὴ διὰ θελήσεως· καὶ ὁ Θεὸς ἐστι τὸ πρῶτον ποιοῦν.

Ἔτι, ἔνθα ἑκατέρα συζεύγνυται ἡ ἐνέργεια, ὑψηλοτέρα ἐστὶν ἡ κατὰ θέλησιν ἐνεργοῦσα τῆς κατὰ φύσιν ποιούσης δύναμις, ὡς ἐν τῷ ἀνθρώπῳ ὁ νοῦς τῆς φυσικῆς ψυχῆς ὑψηλότερος· ἡ δὲ θεία δύναμις ἐσχάτη ἐστὶν ἐν τοῖς οὖσι πᾶσιν· θελήσει ἄρα ἐνεργεῖ ἐν τοῖς πράγμασι καὶ οὐκ ἀνάγκῃ τῆς φύσεως.

---

18 Gen. 17, 1 19 Iob, 42, 2 20 Luc. 1, 37

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τοῦτο καὶ ἐν ψαλμοῖς μαρτυρεῖται· „Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν“. Ἀναιρεῖται δὲ ἐντεῦθεν καὶ ἡ τῶν φιλοσόφων ἐκείνων πλάνη, οἳ τὸν Θεὸν ἔλεγον ποιεῖν ἐξ ἀνάγκης τῆς φύσεως.

## XXIV. — Ὅτι τῇ ἑαυτοῦ σοφίᾳ ποιεῖ.

Ἡ γὰρ θέλησις ἔκ τινος ἀντιλήψεως κινεῖται πρὸς τὸ ποιεῖν· ἐν δὲ τῷ Θεῷ θελήσει ποιοῦντι νοητὴ μόνον ἐστὶν ἀντίληψις· νοεῖ δὲ οὐδὲν εἰ μὴ τῷ νοεῖν ἑαυτόν, ὃ δὴ νοεῖν ἐστι σοφὸν εἶναι· κατὰ τὴν αὐτοῦ σοφίαν ἄρα ἐνεργεῖ πάντα.

Ἔτι, τὸ τάττειν τοῦ σοφοῦ ἐστι κατὰ τὸν Φιλόσοφον· ἐπεὶ γὰρ ἡ τάξις γίνεται γνωσθείσης τῆς σχέσεως καὶ τῆς ἀναλογίας τῶν τακτέων πρὸς ἄλληλα καὶ πρὸς ἕτερόν τι ὅπερ ἐστὶ τέλος αὐτῶν, τὸ μὲν γινώσκειν τὰς σχέσεις καὶ ἀναλογίας τοῦ νοῦν ἔ|χοντος ἐστί· τὸ δὲ κρίνειν διὰ τῆς f. 42ᵛ ἀνωτάτης αἰτίας σοφίας ἐστίν, καὶ οὕτως ἡ τάξις διὰ τῆς σοφίας γίνεται νοοῦντος τινός· ὅθεν καὶ οἱ μηχανικοὶ λέγονται σοφοὶ διὰ τὸ τάττειν· ἐν δὲ τοῖς οὖσι τάξις ἐστὶν ἀρίστη, καὶ ἔστιν ὑπὸ τοῦ παραγαγόντος αὐτὰ Θεοῦ· οὐκοῦν τῇ σοφίᾳ αὐτοῦ ταῦτα παρήγαγεν.

Ἔτι, τῶν ποιητῶν, ὧν ἀρχὴ ἐστιν ἡ θέλησις, ὁ λόγος ἡ τέχνη ἐστίν· ὡς φησὶν ὁ Φιλόσοφος· τοῦ γὰρ γενέσθαι ὡδὶ τὴν οἰκίαν λόγος, ἡ ἐν τῷ οἰκοδόμῳ τέχνη· ἀλλὰ τὰ ὄντα παραβάλλονται πρὸς τὸν Θεὸν ὡς πρὸς τεχνίτην τὰ τεχνητά· οὐκοῦν τῇ τάξει τοῦ νοῦ καὶ τῆς σοφίας αὐτοῦ εἰς τὸ εἶναι ταῦτα παρήγαγεν· ὡς ἐν ψαλμοῖς λέγεται· „Πάντα ἐν σοφίᾳ ἐποίησεν“· καὶ ἐν Παροιμίαις· „Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν“.

## XXV. — Πῶς ὁ παντοδύναμος τινὰ μὴ δύνασθαι λέγεται.

Ἡ ἐνεργητικὴ δύναμις ἔστιν ἐν τῷ Θεῷ, ἡ δὲ παθητικὴ οὐδαμῶς· λεγόμεθα δὲ καθ' ἑκατέραν δύναμιν ἄλλα δύνασθαι. Οὐδὲν οὖν ὁ Θεὸς δύναται τῶν ἀνηκόντων τῷ δύνασθαι τῆς παθητικῆς δυνάμεως, οἷον οὐ δύναται εἶναι σῶμα οὔτε ὕλη· οὔτε δύναται μεταβληθῆναι, οὔτε τινὶ τρόπῳ ἐνδεὴς εἶναι οὔτε ποιεῖν, οὔτε ἐπιλανθάνεσθαι, οὔτε νικᾶσθαι, οὔτε βίαν ὑφίστασθαι, οὔτε μεταγινώσκειν· ταῦτα γὰρ τοῖς ἔχουσι παθητικὴν δύναμιν προσήκει μόνοις.

Ἔτι, καὶ κατὰ τὴν ἐνεργητικὴν δύναμιν ἔνια λέγεται μὴ δύνασθαι ὁ Θεὸς ὡς αὐτῶν μὴ δυναμένων εἶναι ἢ γίνεσθαι· ταῦτα δέ εἰσι τὰ ἀντίφασιν περιέχοντα· ἐν οἷς δηλονότι ἐναντίον τι τοῦ ὄντος ἐστίν, ὃ δὴ σκοπεῖ ἡ ἐνεργητικὴ τοῦ Θεοῦ δύναμις, δηλονότι τὸ ὄν· οἷον οὐ δύναται ποιῆσαι ὁμοῦ ἓν καὶ ταὐτὸν εἶναι καὶ μὴ εἶναι, ὅπερ ἐστὶ τὰ ἀντιφατικὰ εἶναι ὁμοῦ· ἢ εἶναί τι ὁμοῦ ὁρῶν καὶ τυφλόν, ὅπερ ἐστὶ τὸ τὰ ἀντικείμενα

---

1 Ps. 134, 6    22 Ps. 103, 24    23 Prov. 3, 19

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εἶναι ὁμοῦ ἐν τῷ αὐτῷ καὶ κατὰ ταὐτόν· ἢ τὸν ἄνθρωπον μὴ ἔχειν ψυχήν· ἢ τὸ γένος μὴ κατηγορεῖσθαι τοῦ εἴδους· καὶ ὅλως εἶναί τι ἄνευ τῶν οἰκείων ἀρχῶν· ἢ ποιῆσαι τὸ παρελθὸν μὴ γενέσθαι· τῆς γὰρ αὐτῆς ἀνάγκης εἶναί τι, ὅταν ᾖ, καὶ γενέσθαι τι, ὅτε ἐγένετο. Ἔτι, οὐ δύναταί ποιεῖν ἴσον ἑαυτῷ, ὁ Θεὸς οὐδὲ δύναται ποιεῖν ἑαυτὸν μὴ εἶναι, ἢ μὴ εἶναι ἀγαθὸν ἢ μακάριον. Ἔτι, οὐ δύναται θέλειν τὸ κακόν, οὔτε ἁμαρτάνειν.

## f. 43 XXVI. — Ὅτι ὁ θεῖος νοῦς οὐ στενοχω|ρεῖται ὡρισμένοις ἀποτελέσμασιν.

Εἰ γὰρ ἡ θεία δύναμις ὡρισμένοις ἀποτελέσμασιν οὐ στενοχωρεῖται, ὡς δέδεικται, ἀνάγκη καὶ περὶ τοῦ θείου νοῦ τὴν ὁμοίαν ἐξάγειν ἀπόφασιν.

Ἔτι, ἡ θεία σοφία πρὸς τὰ αὐτῆς ἀποτελέσματα ὡς ἡ τοῦ τεχνίτου σοφία πρὸς τὰ τεχνητὰ παραβάλλεται· ἑκάστη δὲ τέχνη πρὸς πάντα ἐκτείνεται τὰ τῷ ὑποκειμένῳ γένει περιεχόμενα, ὥσπερ οἰκοδομικὴ πρὸς πάσας οἰκίας· τὸ δὲ ὑποκείμενον γένος τῇ θείᾳ τέχνῃ ἐστὶ τὸ ὄν, ἐπεὶ αὐτὸς τῷ ἑαυτοῦ νῷ καθόλου τοῦ ὄντος ἐστὶν ἀρχή, ὡς ἀποδέδεικται· ὁ θεῖος ἄρα νοῦς πρὸς πάντα ἐκτείνει τὸ αἰτιατικὸν αὐτοῦ, οἷς ὁ λόγος τοῦ ὄντος οὐ μάχεται· πάντα δὲ τὰ τοιαῦτα, ὅσον ἀφ' ἑαυτῶν, ὑπὸ τοῦ ὄντος πέφυκε περιέχεσθαι. Οὐκ ἄρα ὁ θεῖος νοῦς ὡρισμένοις τισὶν ἀποτελέσμασι στενοχωρηθήσεται, ὅπου γε δέδεικται νοεῖν αὐτὸν καὶ τὰ μήπω γεγονότα ἢ ὄντα ἢ ἐσόμενα.

Ἐντεῦθεν ἐστὶ τὸ ἐν τοῖς ψαλμοῖς· „Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστιν ἀριθμός“. Ἀλλ' εἰ καὶ τοῦτ' ἀληθές ἐστιν, αὐτὸς μέντοι ἔστησεν ἑαυτῷ ὡρισμένα ἀποτελέσματα, ἅτινα τῇ ἑαυτοῦ σοφίᾳ τεταγμένως προάγειν ἔμελλεν, ὡς ἐν τῇ Σοφίᾳ λέγεται· „Πάντα ἐν ἀριθμῷ καὶ σταθμῷ καὶ μέτρῳ διέθηκας, Κύριε.“

## XXVII. — Ὅτι οὐδὲν ἡ θεία θέλησις, ὁμοίως.

Εἰ γὰρ ὁ θεῖος νοῦς, ὡς δέδεικται, ὡρισμένοις ἀποτελέσμασιν οὐ στενοχωρεῖται, ὃς προτίθησι τῇ θελήσει τὸ νοητὸν ἐν τῷ τοῦ ἀγαθοῦ λόγῳ, εἰκότως οὐδὲ ἡ θέλησις ὡρισμένοις ἀποτελέσμασι στενοχωρεῖται.

## XXVIII. — Ὅπως ἐστὶ τὸ κατὰ τὴν δικαιοσύνην ὀφειλόμενον ἐν τῇ τῶν ὄντων παραγωγῇ.

Ἡ μὲν δημιουργία οὐ πρόεισι κατὰ τὸ ὀφειλόμενον τῇ δικαιοσύνῃ· οὔτε γὰρ τῆς καθόλου τῶν ὄντων παραγωγῆς προϋπόκειταί τι, ᾧ τι ὠφείλετ' ἄν, καὶ ἕκαστον κτιστὸν πρᾶγμα διὰ τῆς δημιουργίας πρώτως εἴληφε τὸ ἔχειν ἴδιον τί, καὶ ὁ Θεὸς οὐδενὸς ἤρτηται, οὔτε δεῖταί τινος,

---

22 Ps. 146, 5 26 Sap. 11, 21

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὥστε παράγειν ἐκ τοῦ τῇ δικαιοσύνῃ ὀφειλομένου. Τοῦτο γὰρ καὶ ἐν τῇ
πρὸς Ῥωμαίους λέγεται· „Τίς πρότερον δέδωκεν αὐτῷ ἵνα ἀνταποδώσῃ“;
Ἀλλ' εἰ καὶ μηδὲν προηγεῖται τῆς τῶν ὄντων παραγωγῆς, ᾧ δύναταί τι
ὀφειλόμενον εἶναι, προηγεῖται μέντοι τὶ ἄκτιστον, καὶ ὅ ἐστι τοῦ κτίζειν
ἀρχή· | αὐτὴ γὰρ ἡ θεία ἀγαθότης προηγεῖται ὡς τέλος καὶ πρῶτον κινη- f. 43v
τικὸν τοῦ δημιουργεῖν· καὶ ταύτης τοίνυν ἀπολελυμένως θεωρουμένης,
οὐδὲν ὀφειλόμενόν ἐστιν ἐν τῇ τῶν πραγμάτων δημιουργίᾳ· οὔτε γὰρ
προϋφέστηκέ τι ᾧ δύναται ἁρμόζειν ὀφείλειν τι τὸν Θεόν, οὔτε τις εὐερ-
γεσία προϋφέστηκεν, οὔτε ἡ θεία τελειότης ἐξωτερικοῦ τινος δεῖται πρὸς
τελείωσιν. Οὐδενὶ ἄρα ἀνάγκης τρόπῳ τῇ θείᾳ ἀγαθότητί ἐστιν ὀφειλό-
μενον τὸ τὰ πράγματα εἰς τὸ εἶναι παράγεσθαι, ἀλλ' ἢ μόνον κατὰ τρόπον
πρεπώδους τινός, καθόσον δηλονότι τῇ θείᾳ ἀγαθότητι τοῦτο πρέπει. Εἰ
δὲ τὸν θεῖον ἀφορισμὸν θεωροίη τις, ᾧ ἀφώρισεν ὁ Θεὸς τῷ ἑαυτοῦ νῷ
καὶ τῇ θελήσει τὰ ὄντα ὑποστῆσαι, ἐξ ἀνάγκης πρόεισιν ἡ τῶν ὄντων
παραγωγή· ἀνάγκη γὰρ καὶ ὀφειλόμενον, ὅπερ ὁ Θεὸς ἑαυτὸν ποιήσοντα
ἔταξεν, ποιῆσαι αὐτὸν τοῦτο, καὶ ἀμήχανον μὴ ποιῆσαι. Ἀλλὰ τοῦτο τὸ
ὀφειλόμενον οὐ συνίστησι τὸν τῆς δικαιοσύνης λόγον ἀρκούντως· αὐτοῦ
γὰρ πρὸς ἑαυτὸν οὐκ οἰκείως δικαιοσύνη λέγεται.

Ἀλλ' εὑρίσκεται τὸ ὀφειλόμενον τῇ δικαιοσύνῃ ἐν τῇ παραθέσει τοῦ
ὑστέρου κτίσματος πρὸς τὸ πρότερον οὐ τῷ χρόνῳ μόνον, ἀλλὰ καὶ τῇ
φύσει. Κατὰ ταύτην οὖν τὴν ἀνάγκην τὸ δέον ἐν τῇ τῶν πραγμάτων
παραγωγῇ τριχῶς εὑρίσκεται· πρῶτον μέν, ἵνα τὸ συνημμένον ὀφειλόμενον
λαμβάνηται ἐκ πάσης τῆς τῶν ὄντων ὁλότητος πρὸς ἕκαστον αὐτῆς μέρος,
ὃ πρὸς τὴν τελειότητα τοῦ ὅλου ζητεῖται· εἰ γὰρ τοιοῦτον ὁ Θεὸς ἠθέλησε
τὸ ὅλον γενέσθαι, ὀφειλόμενον ἦν τόδε καὶ τόδε τὸ μέρος γενέσθαι, ὧν
ἄνευ τὸ τοιοῦτον ὅλον εἶναι οὐ δύναται· δεύτερον, ἵνα λαμβάνηται τὸ
ὀφειλόμενον τοῦ συνημμένου ἐξ ἑνὸς κτίσματος πρὸς ἕτερον, οἷον εἰ τὰ
ζῷα καὶ φυτὰ εἶναι ὁ Θεὸς ἠθέλησεν, ὀφειλόμενον ἦν τὰ οὐράνια σώματα
δρᾶν, ἐξ ὧν συντηροῦνται· καὶ εἰ τὸν ἄνθρωπον εἶναι ἠθέλησεν, ἀναγ-
καῖον ἦν γενέσθαι φυτὰ καὶ ζῷα καὶ τὰ ἄλλα, ὧν δεῖ τῇ αὐτοῦ ζωῇ·
τρίτον, ἵνα ἑκάστῳ κτίσματι τὸ συνημμένον λαμβάνηται τὸ ὀφειλόμενον ἐκ
τῶν ἰδίων μερῶν καὶ ἰδιοτήτων καὶ συμβεβηκότων, ὧν τὸ κτίσμα ἐκεῖνο
ἤρτηται ἢ ὅσον πρὸς τὸ εἶναι, ἢ ὅσον πρός τινα αὐτοῦ τελειότητα· ὥσπερ
ὑποκειμένου θελῆσαι τὸν Θεὸν ποιῆσαι ἄνθρωπον, ὀφειλόμενον ἦν ἐκ ταύτης
τῆς | ὑποθέσεως ψυχὴν ἐν αὐτῷ ζεῦξαι καὶ σῶμα καὶ αἰσθήσεις καὶ τὰ f. 44
ἔξωθέν τε καὶ ἔνδοθεν βοηθήματα· ἐν οἷς πᾶσιν οὐ τῷ κτίσματι λέγεται
ὁ Θεὸς ὀφειλέτης, ἀλλὰ τῷ ἰδίῳ προορισμῷ πληρωθῆναι ὀφείλοντι. Οὕτω
τοίνυν τὸ φύσει δίκαιον ἐν τοῖς οὖσιν εὑρίσκεται, ὅσον καὶ πρὸς τὴν τῶν

2 Rom. 11, 35

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πραγμάτων δημιουργίαν καὶ πρὸς τὴν αὐτῶν ἀλληλουχίαν· καὶ διὰ τοῦτο λέγεται ὁ Θεὸς δικαίως καὶ κατὰ λόγον συστήσασθαι πάντα καὶ διοικεῖν.

XXX. — Πῶς ἐν τοῖς κτίσμασιν εἴη ἂν ἀπολελυμένη ἀνάγκη.

Εἰ δὲ καὶ πάντα τῆς τοῦ Θεοῦ θελήσεως ὡς πρώτης αἰτίας ἤρτηται, ἥτις οὐδεμίαν ἀνάγκην εἰς τὸ ἐνεργεῖν ἔχει εἰ μὴ ἐξ ὑποθέσεως κατὰ τὴν αὐτοῦ πρόθεσιν, διὰ τοῦτο μέντοι τῶν πραγμάτων οὐκ ἐκβάλλεται ἡ ἀπολελυμένη ἀνάγκη· ἡ μὲν γὰρ τῶν κτισμάτων ὁλότης τῆς θελήσεως ἤρτηται τῆς πρώτης ἀρχῆς, ἑκάστου δὲ παραβαλλομένου πρὸς τὰς προσεχεῖς ἀρχάς, εἰ καὶ αὗται οὐκ ἐξ ἀνάγκης προάγοιντο, ἀλλ' αὐτῶν ὑποτεθεισῶν, αὐτὸ ἐξ ἀνάγκης δεῖ τοιοῦτ' ἀκολουθεῖν· οἷον ἐπείπερ ἄνευ τῶν οὐσιωδῶν ἑκάστου ἀρχῶν, αἵ εἰσιν ὕλη καὶ εἶδος, τὰ πράγματα εἶναι οὐ δύνανται, τὸ ἐκ τοῦ λόγου τῶν οὐσιωδῶν ἀρχῶν ἁρμόζειν τῷ πράγματι ἀνάγκη ἐν πᾶσιν ἀπολελυμένην ἔχειν ἀνάγκην, ὃ δὴ τριχῶς λαμβάνεται·

Ἕνα μὲν τρόπον, κατὰ τὴν τάξιν τῶν ἀρχῶν πρὸς τὸ εἶναι ἐκείνου, οὗ εἰσιν ἀρχαί· οἷον τὰ μετέχοντα τῆς ὕλης, ἥτις ἐν δυνάμει ἐστί, δεῖ ποτὲ μὲν εἶναι, ποτὲ δὲ μὴ εἶναι, οἷον φθαρτὰ εἶναι· τὰ δὲ εἴδη μόνον ὄντα οὐδέποτέ εἰσιν ἐν δυνάμει τοῦ μὴ εἶναι, ὡς αἱ χωρισταὶ οὐσίαι, καὶ ἀνάγκη αὐτὰς ἀφθάρτους εἶναι· ἔνια δὲ εἴδη ἐν ὕλῃ ὄντα, διὰ τὸ ἐξισοῦν τῇ ἑαυτῶν τελειότητι ὅλην τῆς ὕλης δύναμιν καὶ μὴ ὑπομένειν αὐτῇ δύναμιν πρὸς ἕτερον εἶδος καὶ ἑπομένως μηδὲ πρὸς τὸ μὴ εἶναι, ἄφθαρτα εἰσίν, ὡς τὰ οὐράνια σώματα. Ἐν οἷς δὲ τὸ εἶδος οὐ πληροῖ ὅλην τῆς ὕλης τὴν δύναμιν, καὶ ἐν οἷς ἐναντιότης ἐστίν, ὡς ἐν τοῖς στοιχείοις καὶ στοιχειωτοῖς, ταῦτα φθαρτά εἰσιν.

Δεύτερον δὲ τρόπον, ἐκ τῶν οὐσιωδῶν ἀρχῶν ἔστιν ἐκ τοῖς πράγμασιν ἀπολελυμένη ἀνάγκη διὰ τὴν τάξιν, τὴν πρὸς τὰ μέρη τῆς ὕλης ἢ τοῦ εἴδους, εἰ συμβαίνοι τὰς τοιαύτας ἀρχὰς ἔν τισι μὴ εἶναι ἁπλᾶς. Ἐπεὶ γὰρ ἡ ἰδία τοῦ ἀνθρώπου ὕλη τὸ μικτόν ἐστι σῶμα, καὶ συμπεφορημένον καὶ ὠργανωμένον, ἀνάγκη ἐστὶν ἀπολελυμένως τὸν ἄνθρωπον, ἕκαστον
f. 44v τῶν στοιχείων καὶ τῶν χυμῶν | καὶ τῶν ἀρχικῶν ὀργάνων ἐν ἑαυτῷ ἔχειν· ὁμοίως, εἰ ὁ ἄνθρωπος ζῷον ἐστί, καὶ εἰ λόγῳ χρώμενον ἐστὶ καὶ θνητόν, καὶ τοῦτ' ἔστι φύσις ἢ εἶδος ἀνθρώπου, ἀνάγκη τοῦτον καὶ ζῷον εἶναι λογικόν.

Τρίτον δὲ τρόπον, διὰ τὴν τάξιν τῶν οὐσιωδῶν ἀρχῶν πρὸς τὰς ἑπομένας τῇ ὕλῃ καὶ τῷ εἴδει ἰδιότητας· οἷον ἀνάγκη τὸν πρίονα σκληρὸν εἶναι, ὅτι ἀπὸ σιδήρου ἐστίν· καὶ τὸν ἄνθρωπον ἐπιστήμης εἶναι δεκτικόν, ὅτι λογικός ἐστιν.

Φανερὸν δὲ καὶ ὅτι ἡ ἀνάγκη ἡ ἐν τῇ ποιούσῃ αἰτίᾳ οὖσα, ἔν τισι μὲν τῆς τοῦ ποιοῦντος διαθέσεως μόνον ἤρτηται, ἔν τισι δὲ τῆς διαθέσεως τοῦ ποιοῦντος ἅμα καὶ πάσχοντος· ὥσπερ ἐξ ἐρίου οὐκ ἄν ποτε ποιήσειεν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ χαλκεὺς πρίονα, ἀλλὰ καὶ τὸ ἀσθενὲς θερμὸν οὐκ ἂν μαλάξειε σίδηρον ὥστε ἐξ αὐτοῦ γενέσθαι πρίονα, ὡς εἰκός ἐστιν.

## XXXI. — Ὅτι οὐκ ἀνάγκη ἐξ ἀϊδίου εἶναι τὰ κτίσματα.

Εἰ γὰρ τὴν ὁλότητα τῶν κτισμάτων ἢ ἕν τι αὐτῶν ἀνάγκη ἐστὶν εἶναι, δεῖ τὴν ἀνάγκην ταύτην ἔχειν ἢ ἐξ ἑαυτῶν, ἢ ἐξ ἄλλου· ἐξ ἑαυτῶν μὲν οὖν, ἀδύνατον· δέδεικται γάρ, ὅτι πᾶν ὂν ἀπὸ τοῦ πρώτου ὄντος εἶναι ἀνάγκη· ὃ δὲ οὐκ ἔχει τὸ εἶναι ἀφ' ἑαυτοῦ, οὐδὲ τὴν ἀνάγκην τοῦ εἶναι· εἰ δ' ἀφ' ἑτέρου ἐστὶν ἡ ἀνάγκη, δῆλον ὅτι ἔκ τινος αἰτίας ἐξωτερικῆς· αὕτη δὲ ἢ ποιητική ἐστιν αἰτία, ἢ τέλος· ἀλλ' ὁ μὲν Θεὸς οὐ ποιεῖ ἔκ τινος ἀνάγκης, ὡς δέδεικται. Οὐκ ἄρα ἐστὶν ἀπολελυμένως ἀνάγκη τὰ κτίσματα ἐκ τῆς ποιητικῆς αἰτίας. Ὁμοίως οὐδὲ ἐκ τῆς τελικῆς· τὰ γὰρ πρὸς τὸ τέλος οὐκ ἀπὸ τοῦ τέλους λαμβάνουσι τὴν ἀνάγκην εἰ μὴ καθόσον τὸ τέλος ἄνευ αὐτῶν ἢ οὐ δύναται εἶναι, ὡς οὐδὲ ἡ ζωὴ χωρὶς τοῦ σιτίου, ἢ οὐχ οὕτω καλῶς, ὡς οὐδὲ ἡ ὁδὸς ἄνευ ἵππου καλῶς· τὸ δὲ τέλος τῆς θείας θελήσεως, ἐξ ἧς τὰ ὄντα, οὐχ ἕτερόν τι τῆς θείας ἀγαθότητος, ἥτις οὐκ ἤρτηται τῶν κτισμάτων, οὔτε κατὰ τὸ εἶναι· ἔστι γὰρ καθ' ἑαυτὴν ἐξ ἀνάγκης· οὔτε κατὰ τὸ εὖ εἶναι, ἐπεὶ καθαυτήν ἐστι τελεία ἁπλῶς. Οὐκ ἄρα ἁπλῶς ἀναγκαῖον εἶναι τὰ κτίσματα· οὐδ' ἄρα ἀναγκαῖον τιθέναι, ὅτι ἐξ ἀϊδίου ἐγένοντο.

## XXXII. — Λόγοι δεικνύντες ἀΐδια εἶναι, ἐκ τοῦ Θεοῦ εἰλημμένοι.

Πᾶν τὸ μὴ ἀεὶ ποιοῦν κινεῖται, ἐπειδὰν ποιῇ, ἢ καθαυτὸ ἢ κατὰ συμβεβηκός· ὁ δὲ Θεὸς οὐδετέρως κινεῖται· ἀεὶ ἄρα ὡσαύτως ποιεῖ· ἐκ δὲ τῆς αὐτοῦ ἐνεργείας τὰ ὄντα ἐν τῷ εἶναι συνίστανται· ἐξ ἀϊδίου ἄρα ἦσαν τὰ ὄντα.

Ἔτι, τὸ ἀποτέ|λεσμα πρόεισιν ἐκ τοῦ ποιοῦντος διὰ τῆς ἐνεργείας f. 45
αὐτοῦ· ἀλλ' ἡ τοῦ Θεοῦ ἐνέργεια ἀΐδιός ἐστίν· οὐ γὰρ ἀπὸ τοῦ δυνάμει ποιεῖν εἰς τὸ ἐνεργείᾳ ποιεῖν ἤχθη ὑπό τινος· καὶ τὰ ὑπ' αὐτοῦ ἄρα κτισθέντα ἐξ ἀϊδίου ἔκτιστο.

Ἔτι, τῆς αἰτίας ὑποτεθείσης καὶ ἱκανῆς οὔσης, ἀνάγκη καὶ τὸ ἀποτέλεσμα ἕπεσθαι· ἀλλ' ὁ Θεὸς αἰτία τῶν ὄντων ὤν, καὶ ἱκανή ἐστιν αἰτία διηνεκῶς· τοῦ Θεοῦ οὖν ἐξ ἀϊδίου ὄντος αἰτίας τῶν ὄντων, καὶ τὰ ὄντα ἐξ ἀϊδίου παρῆκτο.

Ἔτι, ἐν τοῖς θελήσει ποιοῦσιν εὐθὺς ἕπεται τῇ ὁρμῇ τῆς θελήσεως τί (εἶναι) ποίημα γίνεσθαι, εἰ μὴ εἴη συμπεπληρωμένη ἡ θέλησις, ἢ δι' ἔνδειαν τῆς δυνάμεως· ὁ δὲ Θεὸς ἐξ ἀϊδίου θέλει πᾶν ὅπερ ἂν θέλει· οὐ

---

1 *μαλλάξειε* **A**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006